ἔσταξεν ὁ θυμός μου ἐπὶ τοὺς κατοικοῦντας Ιερουσαλημ, οὕτως
στάξει ὁ θυμός μου ἐφ᾽ ὑμᾶς εἰσελθόντων ὑμῶν εἰς Αἴγυπτον, καὶ
ἔσεσθε εἰς ἄβατον καὶ ὑποχείριοι καὶ εἰς ἀρὰν καὶ εἰς ὀνειδισμὸν
19 καὶ οὐ μὴ ἴδητε οὐκέτι τὸν τόπον τοῦτον, [19]ἃ ἐλάλησεν κύριος
ἐφ᾽ ὑμᾶς τοὺς καταλοίπους Ιουδα Μὴ εἰσέλθητε εἰς Αἴγυπτον. καὶ
20 νῦν γνόντες γνώσεσθε [20]ὅτι ἐπονηρεύσασθε ἐν ψυχαῖς ὑμῶν ἀπο-
στείλαντές με λέγοντες Πρόσευξαι περὶ ἡμῶν πρὸς κύριον, καὶ
21 κατὰ πάντα, ἃ ἐὰν λαλήσῃ σοι κύριος, ποιήσομεν. [21]καὶ οὐκ ἠκού-
22 σατε τῆς φωνῆς κυρίου, ἧς ἀπέστειλέν με πρὸς ὑμᾶς. [22]καὶ νῦν
ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἐκλείψετε ἐν τῷ τόπῳ, οὗ ὑμεῖς βούλεσθε
εἰσελθεῖν κατοικεῖν ἐκεῖ.

50 [1]Καὶ ἐγενήθη ὡς ἐπαύσατο Ιερεμιας λέγων πρὸς τὸν λαὸν πάντας
τοὺς λόγους κυρίου, οὓς ἀπέστειλεν αὐτὸν κύριος πρὸς αὐτούς,
2 πάντας τοὺς λόγους τούτους, [2]καὶ εἶπεν Αζαριας υἱὸς Μαασαιου
καὶ Ιωαναν υἱὸς Καρηε καὶ πάντες οἱ ἄνδρες οἱ εἴπαντες τῷ Ιερεμια
λέγοντες Ψεύδη, οὐκ ἀπέστειλέν σε κύριος πρὸς ἡμᾶς λέγων Μὴ
3 εἰσέλθητε εἰς Αἴγυπτον οἰκεῖν ἐκεῖ, [3]ἀλλ᾽ ἢ Βαρουχ υἱὸς Νηριου
συμβάλλει σε πρὸς ἡμᾶς, ἵνα δῷς ἡμᾶς εἰς χεῖρας τῶν Χαλδαίων
4 τοῦ θανατῶσαι ἡμᾶς καὶ ἀποικισθῆναι ἡμᾶς εἰς Βαβυλῶνα. [4]καὶ
οὐκ ἤκουσεν Ιωαναν καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως καὶ
5 πᾶς ὁ λαὸς τῆς φωνῆς κυρίου κατοικῆσαι ἐν γῇ Ιουδα. [5]καὶ ἔλαβεν
Ιωαναν καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως πάντας τοὺς κατα-
6 λοίπους Ιουδα τοὺς ἀποστρέψαντας κατοικεῖν ἐν τῇ γῇ, [6]τοὺς δυ-
νατοὺς ἄνδρας καὶ τὰς γυναῖκας καὶ τὰ νήπια καὶ τὰς θυγατέρας
τοῦ βασιλέως καὶ τὰς ψυχάς, ἃς κατέλιπεν Ναβουζαρδαν μετὰ
Γοδολιου υἱοῦ Αχικαμ, καὶ Ιερεμιαν τὸν προφήτην καὶ Βαρουχ υἱὸν
7 Νηριου [7]καὶ εἰσῆλθον εἰς Αἴγυπτον, ὅτι οὐκ ἤκουσαν τῆς φωνῆς
κυρίου· καὶ εἰσῆλθον εἰς Ταφνας.

8 [8]Καὶ ἐγένετο λόγος κυρίου πρὸς Ιερεμιαν ἐν Ταφνας λέγων
9 [9]Λαβὲ σεαυτῷ λίθους μεγάλους καὶ κατάκρυψον αὐτοὺς ἐν προθύ-
ροις ἐν πύλῃ τῆς οἰκίας Φαραω ἐν Ταφνας κατ᾽ ὀφθαλμοὺς ἀνδρῶν

18 εις αβατον και υποχειριοι] εις αιγυπτον υποχ. S*† | εις ult. > A† || 20 ψυχαις] pr. ταις A | προσευξαι] + δη S† | α] οσα S || 21 ηκουσ.] pr. εισ A | με] μοι A† || 22 ου BA pau.] ω S, εν ω *L* | βουλευεσθαι(pro -θε) A

50 (𝔐 43) 1 παντας τους 1⁰] tr. BS† = 𝔐 | κυριου] + θεου αυτων A = 𝔐 | αυτον BSA pau.] > rel.: cf. 49 5 | κυριος] + ο θεος αυτων A = 𝔐 || 2 αζαχαριας S*† | μαασσαιου B*†, μνασσαιου Bc†, μασαιου A, μα(+α Sc)σεου S†: cf. 21 1 | λεγων] ειπειν A | οικειν] pr. κατ A† || 3 αποικισθηναι] pr. του A, -κισαι pl. || 4 ηκουσαν A | ιωαναν: cf. 47 8 | κυριου] pr. του S† || 5 καταλοιπους] λοιπους A | κατοικειν] εις μετοικεσιαν S† | fin.] + ιουδα A = 𝔐 || 6 και τα νηπια compl. = 𝔐] και τα λοιπα BS, + και τα λοιπα A | τας ψυχας] pr. πασας A† || 7 εισηλθον bis] -θοσαν S(†), 2⁰ -θαν B† | εις ult.] εν A† || 8 προς ιερ. > S*† || 9 εν 1⁰] επι S† | φαραω > A†